λῆς φιλοπονίας τὰς θείας καὶ ἱερὰς γραφὰς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Σεραφεὶμ ἐξ Ἀκαρνανίας, μητροπολίτης Δρύστρας, εἰδήμων τῆς ἑλληνικῆς γλώττης, ἔμπειρος τῆς τε θύραθεν παιδείας καὶ τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· σπουδάζει καὶ μελετᾷ μετὰ πολλῆς φιλοπονίας τὰς θείας ἱερὰς γραφὰς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ ἀγάπης.

Γρηγόριος ὁ Σωτήρης Ἀθηναῖος, μητροπολίτης Γάνου καὶ Χώρας, ἀνὴρ εἰδήμων τῆς τε ἑλληνικῆς, λατινικῆς, καὶ ἰταλικῆς γλώσσης, πεπαιδευμένος τήν τε θύραθεν καὶ τὴν καθ' ἡμᾶς παιδείαν, σπουδάζει καὶ μελετᾷ φιλοπόνως τὰς θείας καὶ ἱερὰς γραφὰς, κηρύττει καὶ ἀναπτύσσει τὸν εὐαγγελικὸν λόγον μετὰ πολλοῦ ζήλου καὶ θερμῆς ἀγάπης.

Νεόφυτος ἱερομόναχος Νοταρᾶς Πελοποννήσιος, ἐπίτροπος τοῦ ἁγίου τάφου, καὶ ἀδελφὸς τοῦ μακαριωτάτου πατριάρχου τῶν Ἱεροσολύμων κυρίου Χρυσάνθου· ἀνὴρ εὐσεβείᾳ καὶ τρόπων χρηστότητι φαιδρυνόμενος, ἐλλόγιμος καὶ φιλομαθὴς, φιλόσοφος, θεολόγος καὶ μαθηματικός, ἔμπειρος τῆς θείας γραφῆς· μελετᾷ καὶ ἀναγινώσκει τὰς ἱερὰς βίβλους τῶν πατέρων τῆς ἐκκλησίας.

Δημήτριος Ἰουλιανὸς Βυζάντιος ἐξ εὐγενῶν προγόνων καταγόμενος, μέγας λογοθέτης τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἀνὴρ ἐλλόγιμος καὶ πολυμαθὴς, εἰδήμων τῆς ἑλληνικῆς καὶ λατινικῆς γλώσσης.

Σπαντωνῆς Βυζάντιος, μέγας χαρτοφύλαξ τῆς ἐν Κωνσταντινουπόλει ἁγίας ἐκκλησίας, ἀνὴρ ἐλλόγιμος, εἰδήμων τῆς ἑλληνικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ τὴν καθ' ἡμᾶς ἱερὰν θεολογίαν, ἔμπειρος τῆς ἐκκλησιαστικῆς ἀκολουθίας καὶ τάξεως· ἐχρημάτισε καὶ διδάσκαλος τῆς ἐν Κωνσταντινουπόλει σχολῆς.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ